Οὐ Καΐφας τόσσον, οὐ δολερὸν προδότᾳο φίλαμα,
Οὐ δ' ἄδικοι μιαραὶ τοῦ Πιλάτοιο χέρες.
Μήδεα πατρὸς ὅσσον, τεόν τε πολὺ ἤπιον ἦθος
Ἀμπλακίας ἐλέῳ τὰς σευ ἀμυνάμενον.
Πῶς γὰρ κριτὴς ὀνείδης; πῶς πανδαμάτωρ ἐδαμάσθης;
Πῶς ἀπαθὴς ἔπαθες; πῶς θάνες ἀθάνατος;
Καὶ κτιστὴς καὶ κτιστὸς ἐὼν, ἀπαθής τε παθητὸς,
Καὶ Θεὸς ὢν θνητὸς, καὶ βροτὸς ἀθάνατος.
Οὕτως δὴ θάνατον θανάτῳ θανάτωσα, θέαμα
Τερπνὸν ἐπουρανίοις, τερπνὸν ἐπιχθονίοις.
Φεῦ σοφίης βάθος. ὦ θείας μέγα θαῦμα προνοίας
Φρικτὸν ἐπουρανίοις, φρικτὸν ἐπιχθονίοις.
Ἔρρ' ἀΐδου κνέφας, ἔρρε Σατᾶν ὀλεσίμβροτε, αὐτὸς,
Αὐτὸς (ἰδοὺ) ζωῆς πρόξενος εἶ θάνατος.

---

HOC EPIGRAMMA ISAACUS CASAUBONUS ex Græco ſic elegantiſſimè & feliciſſimè Latinè vertit.

*EHeu! quis vitæ auctorem te ſuſtulit? eheu!*
*Quiſve ſalutem hominũ perdere te potu*
*Non Caïphas adeò, non oſcula perfida Iudæ,*
*Aut, Pilate, tuæ, conſcelerate, manus:*

Conſ